ξύμπαντας φιλέων μάλα θυμῷ κηδόμενός τε·
πάτρην δ' ὑμετέρην κοσμήσω θ' ὡς τὸ πάρος περ·
ἄμπαυσιν δ' ὑμῖν ἐνιθήσομαι ὡς εὔκηλον,
ἄμπνευσίν τε κακῶν, τὰ πάρος δὴν τλῆτ' ἀλεγεινῶς.
ἀλλὰ πίθεσθε φίλοι, τό κεν ὔμμιν κέρδιον εἴη.
λαοὺς δ' ὔμμες ὀτρύνατ' ἰέμμεναι οἴκαδ' ἕκαστος,
ἔνθα πάροιθεν ἔναιεν, ἑὰ πρὶν κτήματα δ' ἔσχεν.
Ὣς φάτ' Ἀλέξανδρος πεπνυμένος ἡδυεπής τε·
οἱ δέ γ' ἐπήνεον· αἶψ' ἐνὶ λαοῖς δ' ὄσσα δεδήει,
τοῖσι δὲ θυμὸν ὄρινεν ἐνὶ στήθεσσιν ἑκάστου,
οἶκονδ' ὤκ' ἴεμεν τ', ἐξαῦτις δῶμα δὲ πῆξαι.
πανταχόθεν δ' ἔσπευδον ἀολλέες ἄλλοθεν ἄλλοι
ἰλαδὸν ἐρχόμενοι νέφη ὡσεὶ γ' ὑδατόεντα,
τὰ σπέρχει λάβρου πνοιῇ τε βίῃ τε νότοιο.
ὣς ῥα τοὶ ἐσσεύοντ' ἀνὰ χώρας ἔνθα καὶ ἔνθα,
οἴκαδε νεισσόμενοι θυμῷ κεχαρηότες ἄκρα.
Πρόφρων δ' ἐξετέλεσσεν ἅπαντα δὴ Ὄρχαμος ἐσθλὸς
ὅσσα πάρος κατένευσεν· ἐῆς δ' ἀγαθῆς πραπίδεσσι
τεῦξεν ἐπισταμένως αἰῶνα χρύσεον ἄντην.
εὖ γὰρ ἐπιστάμενος λαὸν διέπειν κατὰ κόσμον,
ἀρχῆς εὖ εἰδώς τε φαεινῆς κυδιανείρης,
ἧς φρεσὶ πευκαλίμῃσι καὶ εὐμενέεσσι μάλ' ὦκα
ἤνυσεν ἀτρεκέως πολιτείην ἔξοχ' ἀρίστην·
τοὔνεκα θεσπεσίῃ τε καὶ ἐκπάγλῳ ταχυτῆτι
πάντ' ἐνίπλεια γένοντο πολυκτεάνων ναετάων
εὐρεῖαι πτόλιες, κῶμαι τ' ἰδὲ πίονες ἀγροί,